Ακαδημία Αθηνών / Academy of Athens

*θνητῶν, ὅσσα γε* δ ῆ λ α *γεγάκασιν ἄσπετα* Φιλόλαος 11.9 *οὐ γὰρ ἦς* δ ῆ λ ο ν *οὐδενὶ οὐδὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὑτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἦς ἀριθμὸς καὶ ἁ τούτω οὐσία.* ‖ **δῆλον** *(ἐστί).* Φανερὸ/προφανὲς (εἶναι), (it is) clear/obvious, Ζήνων 2.6 *εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται,* δ ῆ λ ο ν *ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 8(5) δ ῆ λ ο ν *τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκεῖ εἶναι* Φιλόλαος 2.5 *ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων,* δ ῆ λ ο ν *τἆρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη* Ἀρχύτας 1.45 *ὥστε* δ ῆ λ ο ν *ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἆχον* Διογένης 8 *ἀλλὰ τοῦτό μοι* δ ῆ λ ο ν *δοκεῖ εἶναι* Δημόκριτος 8 *καίτοι* δ ῆ λ ο ν *ἔσται, ὅτι ἐτεῇ οἷον ἕκαστον γιγνώσκειν ἐν ἀπόρῳ ἐστὶ* 278.3 δ ῆ λ ο ν *δὲ καὶ τοῖς ἄλλοις ζῴοισι· πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα.* Πρβλ. *δηλοῦν.*

**δηλοῦν 1.** Δείχνω/ἀποδεικνύω, show/prove, Φιλόλαος 2.7 δ η λ ο ῖ *δὲ καὶ τὰ ἐν τοῖς ἔργοις* Δημόκριτος 7 δ η λ ο ῖ *μὲν δὴ καὶ οὗτος ὁ λόγος, ὅτι ἐτεῇ οὐδὲν ἴσμεν* **2.** Φανερώνω, bring to light, Ἀρχύτας 3.16 *τοὺς δὲ μὴ ἐπισταμένους, ἐν αὐτῷ* δ η λ ώ σ α ς *ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.* ‖ **δηλοῦσθαι.** Ἀποδεικνύομαι/καταδεικνύομαι, be demonstrated, Διογένης 4 *καὶ τοῦτο αὐτοῖς ψυχή ἐστι καὶ νόησις, ὡς* δ ε δ η λ ώ σ ε τ α ι *ἐν τῇδε τῇ συγγραφῇ ἐμφανῶς* Δημόκριτος 10 *ἐτεῇ μὲν νῦν ὅτι οἷον ἕκαστον ἔστιν* <ἢ> *οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῇ* δ ε δ ή λ ω τ α ι.

**δημιουργία** (συνών. *ἔργον*). Κατασκευή, construction, Φιλόλαος 11.19 *καὶ κατὰ τὰς* δ η μ ι ο υ ρ γ ί α ς *τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μουσικάν.* Πρβλ. *τεχνικός, τέχνη, σοφία.*

**δημοκρατίη.** Δημοκρατία, democracy, Δημόκριτος 251 *ἡ ἐν* δ η μ ο κ ρ α τ ί ῃ *πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.*

**δῆμος 1.** Λαός, people, Ἡράκλειτος 44 *μάχεσθαι χρὴ τὸν* δ ῆ μ ο ν *ὑπὲρ τοῦ νόμου ὅκωσπερ τείχεος* 104.2 *τοῖσι* δ ή μ ω ν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ